www.tezaurliturgic.ro

ΑΚΟΛΟΥΘΙΑ
&
ΒΙΟΣ

ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ
ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ

ΠΑΡΑΣΚΕΥΗΣ

(ΤΗ Κς'. ΙΟΥΛΙΟΥ)

Ὑπὸ
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΣΥΝΕΣΙΟΥ ΚΤΕΝΑ
(Πτυχιούχου Θεολ. Σχολῆς Χάλκης)

«Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ».

ΕΝ ΑΘΗΝΑΙΣ
1969

www.tezaurliturgic.ro

Έτος 1976 ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ

www.tezaurliturgic.ro



† Ἱερεύς
Βεσυρόπουλος Νικόλαος

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΑΚΟΛΟΥΘΙΑ
&
ΒΙΟΣ



† Ἱερεὺς
Βεσυρόπουλος Νικόλαος

ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ
ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ

ΠΑΡΑΣΚΕΥΗΣ

(ΤΗ Κς'. ΙΟΥΛΙΟΥ)

Ὑπὸ
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΣΥΝΕΣΙΟΥ ΚΤΕΝΑ
(Πτυχιούχου Θεολ. Σχολῆς Χάλκης)

«Θαυμαστὸς ὁ Θεὸς ἐν
τοῖς Ἁγίοις αὐτοῦ».

ΕΝ ΑΘΗΝΑΙΣ
1969

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

'Αριθ. | Πρωτ. 3345 / Διεκπ. 1674

'Αθήνησι 7 'Ιουλίου 1969

Πρὸς
Τὸν Μακαριώτατον 'Αρχιεπίσκοπον 'Αθηνῶν
καὶ πάσης 'Ελλάδος κ.κ. ΙΕΡΩΝΥΜΟΝ

Μακαριώτατε,

Εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθ. Φ. 210/69/3275/12-6-69 'Υμετέρου ἐγγράφου, δι' οὗ, διαβιβάζοντες ἡμῖν τὴν ἀπὸ 28-5-69 αἴτησιν τοῦ Πανοσιολ. 'Αρχιμ. Συνεσίου Κτενᾶ, μετὰ τῆς ὑπ' αὐτοῦ ποιηθείσης 'Ιερᾶς 'Ασματικῆς 'Ακολουθίας τῆς 'Αγίας 'Οσιοπαρθενομάρτυρος Παρασκευῆς, παρακαλεῖτε διὰ τὴν ἔγκρισιν τῆς 'Ιερᾶς ταύτης 'Ακολουθίας, Συνοδικῇ ἀποφάσει γνωρίζομεν ὑμῖν, ὅτι ἡ 'Ιερὰ Σύνοδος, λαβοῦσα ὑπ' ὄψει σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Σερβίων καὶ Κοζάνης κ. Διονυσίου, Προέδρου τῆς Μονίμου Συνοδικῆς 'Επιτροπῆς ἐπὶ τῆς Θείας Λατρείας, ἐνέκρινε ταύτην ὡς καλῶς ἔχουσαν, καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς ἁγιωτάτης 'Ορθοδόξου 'Εκκλησίας περιέχεται ἐν αὐτῇ.

† *'Ο 'Αθηνῶν ΙΕΡΩΝΥΜΟΣ, Πρόεδρος*

'Ο 'Αρχιγραμματεύων
'Αρχιμ. Βαρθολομαῖος Κατσούρης

ΚΟΙΝΟΠΟΙΗΣΙΣ

1) Πανοσιολ. 'Αρχιμ. κ. Συνέσιον Κτενᾶν.
(Διὰ τῆς 'Ι. 'Αρχιεπισκοπῆς 'Αθηνῶν).
2) Μ.Σ.Ε. ἐπὶ τῆς Θείας Λατρείας.

† 'Ιερεύς
Βασιλόπουλος Νικόλαος

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



† Ἱερ. υς
Βεσυρόπουλος Νικόλαος

ΑΚΟΛΟΥΘΙΑ
ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΑΣΚΕΥΗΣ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

Ἀφιεροῦται
τῇ Πνευματικῇ μου Τροφῷ
Ἱ. Θεολ. Σχολῇ Χάλκης
εὐγνωμοσύνης ἕνεκεν
Ο ΠΟΝΗΣΑΣ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Ὑπηρετῶν ἀπὸ ἐτῶν ὡς Ἱερατ. Προϊστάμενος καὶ ἐφημέριος εἰς τὸν Καθεδρικὸν Ἱερὸν Ναὸν τῆς Ἁγίας Παρασκευῆς, τοῦ ὁμωνύμου Προαστείου τῶν Ἀθηνῶν, ὅστις, ὡς θὰ εἶναι τοῖς πολλοῖς γνωστόν, ἀποτελεῖ ἀξιόλογον ἱερὸν Προσκύνημα, κατὰ δὲ τὴν ἑορτὴν τῆς Ἁγίας (26 Ἰουλίου), καθ' ἣν τελεῖται μεγαλοπρεπεστάτη πανήγυρις καὶ συνάγονται χιλιάδες πιστῶν χριστιανῶν, προερχομένων τόσον ἀπὸ τὰς Ἀθήνας καὶ Πειραιᾶ καὶ τὰ πέριξ Προάστεια, ἀλλὰ καὶ ἀπὸ τὰ διάφορα τῶν Μεσογείων χωρία, διεπίστωσα τὴν ἔλλειψιν πλήρους ᾀσματικῆς Ἱ. Ἀκολουθίας τῆς Ἁγίας, μὴ ὑπαρχούσης τοιαύτης εἰς τὸ Μηναῖον τοῦ Ἰουλίου, καὶ τὴν ἀνάγκην μιᾶς ἰδιαιτέρας Φυλλάδας, εἰς ἣν νὰ περιλαμβάνεται ὁλοκληρωμένη ἡ Ἱ. Ἀκολουθία αὐτῆς, ἤτοι μὲ τροπάρια Λιτῆς, Ἀναγνώσματα κ.ἄ., ὡς αἱ τῶν ἑορταζομένων Ἁγίων Ἱ. Ἀκολουθίαι ἔχουν.

Μὲ τὴν σκέψιν καὶ τὴν ἐπιθυμίαν μου ὅτι μία οὕτω πως συντεθεῖσα Ἱ. Ἀκολουθία τῆς Ἁγίας Παρασκευῆς εἰς ἰδιαιτέραν Φυλλάδα θὰ εἶναι χρήσιμος καὶ θὰ πληρώσῃ ἓν κενὸν εἰς πανηγυρίζοντας ἰδίᾳ Ἱ. Ναούς, προέβημεν εἰς τὴν μετὰ χεῖρας ἐργασίαν ἡμῶν ταύτην.

Οὕτω λαβόντες ὑπ' ὄψιν τὴν ἐν τῷ Μηναίῳ Ἰουλίου (ἐκδόσεως τῆς Ἀπ. Διακονίας) ὑπάρχουσαν Ἱ. Ἀκολουθίαν τῆς Ἁγίας Παρασκευῆς καὶ παραλείψαντες ἐντελῶς τὴν τῶν Ἁγίων Μαρτύρων Ἑρμολάου καὶ τῶν σὺν αὐτῷ, τοιαύτην, ὡς ἡ διάταξις τοῦ Τυπικοῦ προβλέπει, συνεπληρώσαμεν τὴν περὶ ἧς ὁ λόγος Ἱερὰν Ἀκολουθίαν ὡς ἑξῆς:

Εἰς μὲν τὴν Ἀκολουθίαν τοῦ Μεγάλου Ἑσπερινοῦ προσεθέσαμεν ἕτερα τρία Προσόμοια, εἰς δὲ τὸ α' Λοξαστικὸν τοῦ Ἑσπερινοῦ ἐκάμομεν προσθήκας τινάς. Ἐπίσης κατεχωρίσαμεν τρία Ἀναγνώσματα, τὰ εἰς Μάρτυρας ἀναγινωσκόμενα. Ὡσαύτως ἐρανίσθημεν ἀπὸ τὴν Ἱ. Ἀκολουθίαν ἄλλων Ἁγίων Μαρτύρων διάφορα Ἰδιόμελα Τροπάρια, χωρὶς νὰ ἀλλοιωθῇ ὁ ἦχος καὶ τὸ μέτρον τούτων καὶ συνεθέσαμεν τὴν Λιτὴν τῆς Ἁγίας. Εἰς δὲ τὸν Ὄρθρον προσεθέσαμεν ἀνὰ ἓν ἕτερον Κάθισμα εἰς τὴν α' καὶ β' Στιχολογίαν καὶ ἕτερα δύο τοιαῦτα, ἐλλείποντα ἐντελῶς ἀπὸ τὸ Μηναῖον, μετὰ τὸν Πολυέλεον, ὡς καὶ τὸ Ἰδιόμελον μετὰ τὸν Ν' Ψαλμόν.

Ὡς Κανόνα ἐλάβομεν μόνον τὸν τοῦ Μηναίου, προσθέσαντες τὰς ἐκ τοῦ Τυπικοῦ καθοριζομένας Καταβασίας. Ἐπίσης εἰς τὰ Ἐξαποστειλάρια προσε-

www.tezaurliturgic.ro

θέσαμεν καὶ ἕτερον παρ' ἡμῶν συντεθέν, μετὰ τοῦ σχετικοῦ Θεοτοκίου. Εἰς τοὺς Αἴνους τέλος προσεθέσαμεν ἕτερον Προσόμοιον, πρὸς συμπλήρωσιν τετάρτου τοιούτου, ἀντὶ νὰ ψαλῇ, ὡς ἀναγράφεται εἰς τὸ Μηναῖον, τὸ πρῶτον δίς.

Ἀντὶ δὲ τοῦ εὑρισκομένου εἰς τὸ Μηναῖον Δοξαστικοῦ τῶν Αἴνων, ὅπερ ἀνήκει εἰς τὸ Δοξαστικὸν τῶν Ἀποστίχων τῆς Ἁγίας Κυριακῆς, καὶ τὸ ὁποῖον ἡμεῖς ἐχρησιμοποιήσαμεν ὡς Τροπάριον τῆς Λιτῆς, κατεχωρίσαμεν ἕτερον, ἀνῆκον εἰς ἑτέραν Ἁγίαν Μάρτυρα, μέ τινα σχετικὴν παραλλαγήν, φροντίσαντες νὰ μὴ ἀλλοιωθῇ τὸ μέτρον τούτου.

Ἐν τέλει προσεθέσαμεν Μεγαλυνάριον τῆς Ἁγίας, λαβόντες τοῦτο ἀπὸ τὸν Μέγαν Συναξαριστὴν τῆς Ἐκκλησίας ἡμῶν.

Ὡσαύτως ἐθεωρήσαμεν καλὸν εἰς τὴν οὕτω πως συντεθεῖσαν Ἱ. Ἀκολουθίαν τῆς Ἁγίας νὰ προσθέσωμεν καὶ τὸν Βίον αὐτῆς βάσει τῶν βοηθημάτων, ἅτινα εἴχομεν ὑπ' ὄψιν ἡμῶν, καὶ μετ' αὐτὸν προσεθέσαμεν καὶ τὴν ἱερὰν Παράκλησιν τῆς Ἁγίας Παρασκευῆς, ὡς αὕτη εἶναι τετυπωμένη εἰς τὸ Βιβλίον «ΘΗΣΑΥΡΟΣ ΑΓΙΩΝ» τοῦ Ἐκδοτ. Οἴκου Στ. Ρηγοπούλου 1938.

Εἰς τὴν ὅλην ἡμῶν ταύτην ἐργασίαν εἴχομεν ὑπ' ὄψιν ἡμῶν διαφόρους Ἱ. Ἀκολουθίας ἁγίων Μαρτύρων Γυναικῶν, ὡς καὶ τοιαύτας ἐκ τοῦ Νέου Λειμωναρίου, ἐξ ὧν ἐρανίσθημεν τὸ ὑλικὸν τῆς ἐργασίας ἡμῶν ταύτης, μὲ σχετικὰς παραλλαγὰς ἐπενεχθείσας παρ' ἡμῶν.

Ἐν τῇ ἐπιθυμίᾳ ἡμῶν ὅπως διευκολύνωμεν κυρίως τοὺς Ἱεροψάλτας, παρεθέσαμεν εἰς τὸ τέλος τῆς ὅλης ἐργασίας ἡμῶν, μελοποιηθέντα ὑπὸ τοῦ Μουσικολ. Καθηγητοῦ τῆς Βυζαντινῆς Μουσικῆς παρὰ τῷ Ἐθνικῷ Ὠδείῳ καὶ Δεξιοῦ Ἱεροψάλτου τοῦ Καθεδρικοῦ Ἱ.Ναοῦ Ἁγίας Παρασκευῆς Ἀττικῆς κ. Χρήστου Χατζηνικολάου, τὰ δύο Δοξαστικὰ τοῦ Ἑσπερινοῦ ὡς καὶ τὸ Δοξαστικὸν τῶν Αἴνων, διὸ καὶ θερμῶς εὐχαριστοῦμεν τοῦτον ἀπὸ τῆς θέσεως ταύτης.

Τὴν οὕτω καταρτισθεῖσαν Ἱερὰν Ἀκολουθίαν τῆς Ἁγίας Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς δίδομεν ἤδη εἰς δημοσιότητα ἐγκρίσει τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, μὲ τὴν παράκλησιν ὅπως ἡ ἐργασία ἡμῶν αὕτη κριθῇ ἐπιεικῶς, ἀλλὰ καὶ μὲ τὴν ἀδελφικὴν εὐχὴν ὅπως ἀποβῇ εἰς τοὺς εὐσεβεῖς χριστιανούς, τοὺς ἐνθέρμως τιμῶντας τὴν Ἁγίαν Παρασκευήν, πρόξενος ψυχικῆς ὠφελείας, πρὸς δόξαν καὶ αἶνον τοῦ ἐν Ἁγίοις ἐπαναπαυομένου Τριαδικοῦ Θεοῦ ἡμῶν. Ἀμήν.

Ἐν Ἁγίᾳ Παρασκευῇ Ἀττικῆς. Ἀπρίλιος 1969

Σ. Κ.

www.tezaurliturgic.ro



Τῇ Κς' τοῦ μηνὸς Ἰουλίου

Μνήμη τῆς Ἁγίας Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος

ΠΑΡΑΣΚΕΥΗΣ

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς' καὶ ψάλλομεν Στιχηρὰ προσόμοια τῆς Ἁγίας.

Ἦχος α'. Τῶν Οὐρανίων Ταγμάτων.

Παρασκευῆς τῆς Παρθένου, τὴν μνήμην σήμερον, ἐν ἐτησίοις ὕμνοις ἑορτάσωμεν πάντες, φιλέορτοι ἐνδόξως, ἥτις Χριστῷ, τῷ Κυρίῳ παρίσταται, ἐκδυσωποῦσα ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου εὐφημούντων αὐτήν.

Μαρτυρικὴν παρρησίαν, πρὸς τὸν Νυμφίον σου, σὺ τὸν Χριστὸν πλουτοῦσα, παναοίδιμε Μάρτυς, δεόμεθα μὴ παύσῃ ὑπὲρ ἡμῶν δυσωποῦσα τὸν Κύριον, τοῦ λυτρωθῆναι κινδύνων πάντας ἡμᾶς, καὶ παντοίων περιστάσεων.

Χαίρει πληθὺς τῶν Ἀγγέλων, καὶ Ἀθλητῶν οἱ χοροί, ἐπὶ τῇ θείᾳ μνήμῃ, τῇ σῇ Μάρτυς θεόφρον· ἀθλήσασα γενναίως ὡς ἀληθῶς, τοὺς τυράννους κατήσχυνας, καὶ τὸ πανύμνητον ὄνομα τοῦ Χριστοῦ, καὶ τὴν πίστιν ὑπερύψωσας.

Ἕτερα Στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου Θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, Παρασκευὴ ἡ σοφή, Ἀντωνίνου τὸ φρύαγμα, ἀνδρικῶς κατέβαλες, προθύμως ἐναθλήσασα· καὶ τῶν βραβείων τῆς ἄνω κλήσεως, καὶ τῶν στεφάνων,

www.tezaurliturgic.ro

ἀξιωθεῖσα σεμνή, ὑπὲρ τῶν δούλων σου, τῶν πιστῶν τιμώντων σε, μνείαν ποιοῦ, πάντοτε πρὸς Κύριον, ἐλεηθῆναι ἡμᾶς.

Μάρτυς τοῦ Χριστοῦ πανεύφημε, ἡ τὸν Δεσπότην Χριστόν, ὁλοψύχως ποθήσασα, τῶν βασάνων ἤνεγκας, τὰς πληγὰς καρτερώτατα· καὶ ξεομένη πλευρὰς ταῖς μάστιξιν, αἰκίας πάσας διὰ τὸν σὸν ἐραστήν, καθυπομένουσα, τῶν στεφάνων ἔτυχες, τῶν παρ' αὐτοῦ· ὅθεν εὐφημοῦμέν σε θεομακάριστε.

Ὁσιομάρτυς πανένδοξε, τίς ἐξισχύσει εἰπεῖν, τῶν σῶν πόνων τὰ ἔπαθλα, καὶ τοῦ μαρτυρίου σου, τὰ ἀνδρεῖα τεράστια· ὑπομονήν τε καὶ τὴν πραότητα, ἣν ἐνεδείξω σεμνὴ ὡς ἄσαρκος· ὅθεν συνόμιλος, τῶν Ἀγγέλων γέγονας Παρασκευή, νύμφη τοῦ Παντάνακτος, σκεῦος τοῦ Πνεύματος.

Δόξα. Ἦχος πλ. β'.

Παρθενομάρτυς Ἀθληφόρε, Παρασκευὴ παναοίδιμε, ὡς παρθένος καὶ Μάρτυς, ἐκ δεξιῶν τοῦ σοῦ Νυμφίου Χριστοῦ παρίστασαι, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, τὴν λαμπάδα κατέχουσα, καὶ βοῶσα πρὸς αὐτὸν ἐν ἀγαλλιάσει. Εἰς ὀσμὴν μύρου σου ἔδραμον, Χριστὲ ὁ Θεός, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ, μὴ οὖν χωρίσῃς με Νυμφίε ἐπουράνιε. Αὐτῆς, Κύριε, ταῖς ἱκεσίαις, τὴν ζωὴν ἡμῶν ρῦσαι πειρασμῶν τε καὶ θλίψεων, καὶ πάσης περιστάσεως· καὶ κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτήρ, τὰ ἐλέη σου.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον Τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. «Φῶς ἱλαρόν». Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

www.tezaurliturgic.ro

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ', 9-14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμί· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ', 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε', 15-ς', 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ

www.tezaurliturgic.ro

χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ρομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλίσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Στιχηρὰ Ἰδιόμελα. Ἦχος α'.

Δεῦτε πάντες οἱ πιστοί, τὴν ἐτήσιον μνήμην Παρασκευῆς τῆς ἐνδόξου, μετ' ἐγκωμίων ὑμνήσωμεν λέγοντες· Χαίροις Ἀθληφόρε καὶ Μάρτυς, ἡ τῶν τυράννων τὰ θράση καταργήσασα. Χαίροις μαρτύρων τὸ κλέος καὶ ὀρθοδόξων τὸ ἄσειστον ἔρεισμα. Χαίροις ἡ διὰ Χριστὸν τὸν νυμφίον σου, τὴν μὲν ἀκμὴν τοῦ σώματος, ταῖς βασάνοις καταναλώσασα, τὴν δὲ ψυχὴν ταῖς ἀκτῖσι τοῦ Πνεύματος ἐκλαμπρύνασα. Χαίροις ἡ πρεσβεύουσα πάντοτε Κυρίῳ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην σου.

Ὁ αὐτός.

Ὑμνοῦμεν τοὺς ἀγῶνας καὶ τοὺς ἄθλους, οὓς ὑπήνεγκας ἀνδρικῶς, Παρασκευὴ Καλλιπάρθενε, ζωῆς γὰρ ἠλόγησας τῆς προσκαίρου, καὶ σώματος οὐκ ἐφείσω, ἀλλὰ πάντα προΐδωκας, ὑπὲρ ἀγάπης τοῦ Κτίστου σου, Ὃν ἱκετεύουσα μὴ παύσῃ ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

Ἦχος β΄.

Ἐ'ν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ Ἁγία, τὴν λαμπάδα ἄσβεστον τηρήσασα. Ἀκούσωμεν τῆς παρθένου ἐγκώμιον· Ὦ Παρθενία, ναὸς Θεοῦ. Ὦ Παρθενία, Μαρτύρων δόξα. Ὦ Παρθενία, Ἀγγέλων συμμέτοχε.

Ἦχος γ΄.

Ἀ'θλητικὴν πανήγυριν πιστοί, θεοφρόνως τελουμένην θεώμενοι, τῷ θαυμαστῷ ἐν βουλαῖς Θεῷ ἡμῶν, εὐχαριστήριον ὕμνον μελῳδήσωμεν· τὸ γὰρ ἀόρατον κράτος, τῆς ἐναντίας δυνάμεως, ἐν γυναικείᾳ φύσει κατηγωνίσατο, τὴν θείαν ἑαυτοῦ δύναμιν, ἐν ἀσθενείᾳ τελειώσας τῆς Καλλιμάρτυρος. Ταῖς Αὐτῆς πρεσβείαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Ἄ'σμασί τε καὶ κρότοις, ἐπὶ γῆς ἡμᾶς σεμνὴ τοὺς σὲ γεραίροντας, ἄμειψαι οὐρανόθεν Ὁσία, ἐκμειλίσουσα τὸν Δεσπότην ἡμῖν· τῶν πταισμάτων τὴν λύσιν πρυτανεύουσα, καὶ τὰς ἐναντίας περιστάσεις ἐναπείργουσα, ἵνα ἤρεμον ἐπὶ γῆς βιοῦντες βίον, ἐν εἰρήνῃ τὸν σὲ ἐν δόξῃ στέψαντα Χριστόν, μεγαλύνωμεν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι...

Εἰς τὸν Στίχον.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Πολυώδυνα βάσανα, ὑποστῆναι πανένδοξε, ἀνδρικῷ φρονήματι ηὐτομόλησας, καὶ τῶν Ἑλλήνων σεβάσματα, ὡς κόνιν ἐλέπτυνας· τῷ γὰρ σθένει τοῦ Σταυροῦ, τὸν ἀντίπαλον ἔκτεινας, τὸν καυχώμενον, ὑπεράνωθεν ἄστρων θρόνον θεῖναι· πρὸ ποδῶν σου γὰρ ἐρράγη. Ὥσπερ στρουθίον παιζόμενος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Τῆς πλακὸς τὴν βαρύτητα, καὶ πυρὸς τὴν κατάκαυσιν, Θεϊκῇ προνοίᾳ Ἄγγελος τάχιστα, τὴν μὲν ὡς φύλλον ἀνέδειξε, τὴν δὲ αὔραν ἔνδροσον, οἷα πάλαι τοῖς Παισί, τοῦ τετάρτου ἡ ὅρασις· μεθ' ὧν ἔκραζες· Σοῦ τὸ ἔλεος μέγα Πανοικτίρμον· ὅθεν σέβω γηθομένη, Σοῦ τὸ πανύμνητον ὄνομα.

www.tezaurliturgic.ro

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Καθαρότητα σώματος, καὶ ψυχῆς τὴν λαμπρότητα, κτησαμένη πάντοτε ὤφθης ἄμωμος· σὺ γὰρ νυμφίον ποθήσασα, κατ' ἴχνος ἐβάδισας, νοητοῦ μύρου σεμνή, Παρασκευὴ ἀοίδιμε· καὶ νῦν πρέσβευε, τὸν Σωτῆρα τῶν ὅλων λύσιν δοῦναι, ὀφλημάτων τοῖς ἐν πίστει, ἐπιτελοῦσι τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ. β'.

Δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, πνευματικὴν χορείαν κροτήσωμεν, καὶ τὴν Χριστοῦ παρθενομάρτυρα εὐφημήσωμεν λέγοντες. Χαίροις, Παρασκευὴ Ὁσία καὶ θεοτίμητε. Χαίροις, ἡ τὸ μαρτύριον καλῶς ὑποδεξαμένη. Χαίροις τῶν Μαρτύρων ἰσοστάσιε, καὶ τῶν Ὁσίων ὁμόσκηνε· μεθ' ὧν ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

Νῦν ἀπολύεις. Ἅγιος ὁ Θεὸς (ἐκ γ'.).

Ἀπολυτίκιον. Ἦχος α'.

Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου πίστιν, εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ Ἀθληφόρε· ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν ὡραιότατον Χριστὸν ἀγαπήσασα, καὶ δι' ἁγνείας τὴν ψυχὴν ὡραΐσασα, διὰ παντοίων πόνων τε καὶ θλίψεων, τούτῳ κατηγγύησαι, ὥσπερ ἄμωμος νύμφη· ὅθεν σε ἠξίωσεν οὐρανίων θαλάμων, ὑπὲρ ἡμῶν πρεσβεύουσαν αὐτῷ, τῶν σὲ τιμώντων Παρασκευὴ πανεύφημε.

Δόξα Πατρί. Ὅμοιον.

Οἱ ἀγῶνές σου σεμνὴ καὶ ὁ στέφανος, οἱ ἱδρῶτές σου ἁγνὴ καὶ τὰ θαύματα, τοῦ διαβόλου ἤσχυναν τὰ τρόπαια· Χριστὸν γὰρ τὸν νυμφίον σου, ἐκ καρδίας ποθοῦσα, οὐ μάστιγας οὐ θάνατον, δι' αὐτὸν ἐπτοήθης· ἀλλ' ἀνετέθης ὅλη τῷ Θεῷ, τῆς παρθενίας τὸν στέφανον φέρουσα.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· τοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.

Ὡς ἄμωμος ἀμνάς, καὶ ἁγνὴ τῷ Κυρίῳ, συνήφθης μυστικῶς, ἐν σεμνότητι βίου, τῷ κάλλει τῆς ἀθλήσεως, σεαυτὴν ὡραΐσασα· ὅθεν εἴληφας, τῶν ἰαμάτων τὴν χάριν, ἰατρεύουσα, τὰ ἀρρωστήματα πάντα, δυνάμει τοῦ Πνεύματος.

www.tezaurliturgic.ro

Δόξα. Ὅμοιον.

Τῷ κάλλει σου Χριστὲ ἡ Παρθένος τρωθεῖσα, παρέδραμε σπουδῇ, τὰ ὁρώμενα πάντα, καὶ πᾶσαν τὴν τοῦ σώματος, εὐμορφίαν ἐκδέδωκε, ταῖς κολάσεσι, καὶ ταῖς πικραῖς τιμωρίαις, ἀφανίζεσθαι· ἣν εἰς ὡραίους νυμφῶνας, εἰσήγαγες Δέσποτα.

Καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἐπεφάνης σήμερον.

Εὐφροσύνης σήμερον ἡ Οἰκουμένη, ἐπληρώθη ἅπασα ἐν τῇ πανδήμῳ ἑορτῇ, Παρασκευῆς τῆς θεόφρονος, μεγαλοφώνως τὴν χάριν κηρύττουσα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὰς ἀχράντους χεῖράς σου, Παρθενομήτωρ, ἐφαπλοῦσα σκέπασον, τοὺς πεποιθότας ἐπὶ σοί, καὶ τῷ Υἱῷ σου κραυγάζοντας, πᾶσι παράσχου, Χριστὲ τὰ ἐλέη σου.

Οἱ Ἀναβαθμοί, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου. Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. Πᾶσα πνοή.

Εὐαγγέλιον. Ζήτει τῆς Τετάρτης τῆς Γ' ἑβδομάδος Ματθαίου. (Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς...). 36 σελίς

Ὁ Ν'. Δόξα. Ταῖς τῆς Ἀθληφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός...

www.tezaurliturgic.ro

Ἦχος δ΄.

Ὅτε ἐξεδήμησας πρὸς τὸν σοὶ ποθούμενον Χριστὸν τὸν Θεόν, Παρασκευὴ ἀοίδιμε, τότε οἱ θεῖοι νόες, τὴν ἱεράν σου ψυχὴν ἀναλαβόντες, ἐν ταῖς τῶν Μαρτύρων κατέταξαν σκηναῖς· ὧν τὸν ζῆλον ἐκτήσω, καὶ τοὺς ἀγῶνας διήνυσας. Τοῦτον δυσώπει σὺν αὐτοῖς, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ τὰ λοιπά.

Εἶτα ψάλλεται ὁ Κανὼν τῆς Ἁγίας, οὗ ἡ Ἀκροστιχὶς (ἄνευ τῶν Θεοτοκίων). Ὕμνοις γεραίρω τὴν πανεύφημον Κόρην.

(Θεοφάνους).

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος.

Ὑμνοῦσι, τὴν φωτοφόρον μνήμην σου, Μάρτυς πανεύφημε χάριν δοθῆναι αἰτῆσαι ἡμῖν, καὶ πταισμάτων τὴν ἄφεσιν, Παρασκευὴ ἀοίδιμε, ταῖς πρὸς τὸν Κύριον δεήσεσι.

Μαρτύρων, σὺ καλλονὴ ἀνέφανας, τὰς τοῦ ἐχθροῦ μηχανάς, καταβαλοῦσα ὅπλῳ τοῦ Σταυροῦ· καὶ τυράννων, ὠμότητα, ἀθλητικῶς παλαίσασα, θεοσεβῆ πίστιν ἐκήρυξας.

Νομίσας, τῆς καρτερίας λύειν σου, Μάρτυς τὸ εὔτονον, ὁ τοῖς ξοάνοις τύραννος δεινῶς, ἀπονέμων προσκύνησιν· ἀλλὰ σοφοῖς σου ῥήμασι, τούτου τὸ θράσος ἅπαν λέλυται.

Θεοτοκίον.

Ὁ Λόγος, ἐκ σῶν ἀχράντων Δέσποινα, αἱμάτων τίκτεται, ἐμψυχωμένην σάρκα εἰληφώς· καὶ ἡμᾶς ὁλισθήσαντας· ἀπατεῶνος δήγματι, τῷ θείῳ κράτει ἀνεπλάσατο.

Καταβασία.

»Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ »λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαι»δρῶς πανηγυρίζων, καὶ ἄσω γηθόμενος, ταύτης τὰ θαύματα.

www.tezaurliturgic.ro

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἐνεύρου τὸ ἀσθενές, τὸ θεῖον Πνεῦμα καὶ φαιδρὸν δέδειχεν, ἐξεικονίζον ἄριστα, τῆς σῆς ἀκραιφνοῦς ψυχῆς ἔλλαμψιν.

Ῥωσθεῖσα σθένει Χριστοῦ, τὰς τῶν βουνεύρων ἀφειδῶς μάστιγας, Μάρτυς Χριστοῦ ὑπέφερες, οἷά τις ἀδάμας στερρότατος.

Ἀγάπῃ τῇ πρὸς Θεόν, ἐν τῷ σταδίῳ καρτερῶς ἤνεγκας, τὸν σκορπισμὸν τοῦ σώματος, καὶ τοὺς ἀνυποίστους πικροὺς αἰκισμούς.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

Καταβασία.

»Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πη»γή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ »ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐνασκήσασα πόνοις ἀθλητικοῖς, ἐδοξάσθης ἀγῶσι μαρτυρικοῖς, πολλοὺς προσενέγκασα, σωζομένους τῷ Κτίστῃ σου· τῷ γὰρ θείῳ πόθῳ, λιποῦσα τὰ πρόσκαιρα, ἀνδρικοὺς ἀγῶνας ἐτέλεσας ἔνδοξε. Ὅθεν μετὰ τέλος, ἀτελεύτητον εὗρες, ζωὴν συνυπάρχουσα, τῷ Νυμφίῳ σου πάντοτε, ἀθληφόρε ἀοίδιμε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἕτερον.

Ἐκ σπαργάνων μητρῴων σὺν τῷ Χριστῷ, σεαυτὴν ἀναθεῖσα διηνεκῶς, αὐτῷ εὐηρέστησας, τῷ Σωτῆρι τῶν ὅλων· καὶ τυράννων θράσῃ, στερρῶς κατεπάτησας, καὶ βασάνους ὄντως, ἀνδρείως ὑπέμεινας· ὅθεν ὁ Χριστός σοι, τοὺς στεφάνους κοσμή-

www.tezaurliturgic.ro

σας, ἐνδόξως εἰσήγαγεν, εἰς νυμφῶνα οὐράνιον. Παρασκευὴ ἀξιάγαστε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς παρθένον καὶ μόνην ἐν γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, πᾶσαι μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων. τὸ γὰρ ἐσκήνωσεν, ἐν σοὶ τῆς θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον· ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, τὸν πανάγιον τόκον σου, καὶ συμφώνως βοῶμεν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄσπορον τόκον σου.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἰαμάτων ἐντυχοῦσα καὶ χαρισμάτων, καὶ ὀπτασίας ἔνδοξε, τὰς θείας πηγάζεις, χάριτας ἑκάστοτε, τοῖς πίστει γεραίρουσι, καὶ τῷ σῷ τεμένει προστρέχουσιν.

Ῥυτίδα ὄντως καὶ σπῖλον μηδόλως σχοῦσα, ἁγιασμόν τε σώματος, ἐπικτησαμένη, Ἀγγέλους τεθέασαι, μεθ' ὧν ἀνεκραύγαζες· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὡς κατάπληκτον σημεῖον· φρικτῆς ἡμέρας, τοῦ σωτηρίου πάθους γάρ, ἐξεικονισθείσης, γυναικείῳ σώματι, Σταυρὸν καὶ Κάλαμον, Στέφανον καὶ Σπόγγον τεθέασαι.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας, ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Καταβασία.

»Τὴν ἀνεξεχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρ-
»κώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κα-
»τανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου, Κύριε.

www.tezaurliturgic.ro

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ἠγώνισαι σεμνή, καὶ τὸν τύραννον ἔκτεινας, ρητορεύσεσι ταῖς πανσόφοις, πρὸ βημάτων ἐμφρόνως, τὸν Χριστὸν καταγγέλλουσα.

Νοῦν ἔχουσα στερρόν, ἀπτοήτῳ φρονήματι, κατήσχυνας τῶν εἰδώλων, τὰ σεβάσματα πάντα, γραφικαῖς ἀποδείξεσι.

Παστάδος νοητῆς, καὶ νυμφῶνος ἠξίωσαι, χορεύουσα σὺν Παρθένοις, ταῖς φρονίμοις ἐνθέως, Παρασκευὴ ἀοίδιμε.

Θεοτοκίον.

Σὺ ὅπλον ἀρραγές, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Καταβασία.

»Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρό»γαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ »τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύ»οντα.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Ἀγγέλου παρουσίᾳ τὴν στέρνοις τεθεῖσάν σοι, μεγίστην πάνσεμνε πλάκα, καὶ χειρῶν τοὺς ἥλους ἔνδοξε Μάρτυς, ὁ Δεσπότης, ροπῇ θείᾳ θᾶττον ἠφάνισεν.

Νέαν σε, πρωτομάρτυρα Θέκλαν δοξάζομεν, οἷα κηρύξασαν πᾶσι, καὶ πολλοὺς φωτίζουσαν θείῳ λόγῳ, καὶ ἀπίστους, πρὸς τὴν ἔνθεον πίστιν, ρυθμίζουσαν.

Ἔρρει σου, τῶν ἐνθέων δογμάτων ὁ σύλλογος, μελισταγὴς τῶν χειλέων, καὶ τὴν γνῶσιν πάντων ἐδίδασκες, παρρησίᾳ, Παρασκευὴ Μαρτύρων ἀγλάϊσμα.

Θεοτοκίον.

Ὦ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον! ὅτι Παρθένος ἐν μήτρᾳ τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

www.tezaurliturgic.ro

Καταβασία.

»Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρο-
»νες τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν
»ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὸν ναόν σου πάνσεμνε ὡς ἰατρεῖον, ψυχικὸν εὑράμενοι, ἐν τούτῳ πάντες οἱ πιστοί, μεγαλοφώνως τιμῶμέν σε, Ὁσιομάρτυς· Παρασκευὴ ἀοίδιμε.

Ὁ Οἶκος.

Ἡ τοῦ νυμφίου σε φωνή, καλέσασα ὡς νύμφην, στεφάνῳ ἀφθαρσίας ἐκόσμησε, θεόφρον, Παρασκευή, πανευκλεής, καὶ μετὰ ἀθλοφόρων καὶ Μαρτύρων τῶν σεπτῶν, ἀξίως συνηρίθμησε· μεθ' ὧν εὐφραινομένη, μέμνησο τῶν ἐκτελούντων τὴν ἁγίαν ἑορτήν σου, καὶ συνελθόντων ἔνδον τοῦ ναοῦ σου· ἐν αὐτῷ γὰρ νυνὶ παρεστῶτες, ἀπὸ ψυχῆς προσφέρομέν σοι τοὺς ὕμνους, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Συναξάριον.

Τῇ Κς' τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος τοῦ Χριστοῦ Παρασκευῆς.

Στίχοι.

Θεῷ παρεσκεύασας ἁγνὸν ὡς δόμον,
Σαυτὴν ἀγῶσι, σεμνή, εἰς κατοικίαν.
Παρασκευὴ ἕκτῃ τε καὶ εἰκάδι δειροτομήθη.

(Βίος).

Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Ἀντωνίνου, ἐκ κώμης τινὸς τῆς πρεσβυτέρας Ρώμης, γέννημα χριστιανῶν γονέων, Ἀγάθωνος καὶ Πολιτείας προσαγορευομένων· οἵτινες τὰς ἐντολὰς τοῦ Κυρίου ἀόκνως διατηροῦντες ἐτύγχανον ἄτεκνοι· ἐφ' ᾧ καὶ προσηύχοντο τῷ Θεῷ ἀδιαλείπτως δοῦναι αὐτοῖς τέκνον. Ὁ δὲ Δημιουργὸς Θεός, ὁ καὶ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν, ἐδωρήσατο αὐτοῖς τέκνον θῆλυ, τὴν παροῦσαν ἁγίαν· ἣν καὶ τεκόντες ἐν ἡμέρᾳ τῆς ἑβδομάδος ἕκτῃ, ὠνόμασαν αὐτὴν διὰ τοῦτο, ἐν

www.tezaurliturgic.ro

τῷ Βαπτίσματι Παρασκευήν. Αὕτη δὲ ἐκ σπαργάνων μητρικῶν, τῷ Θεῷ ἑαυτὴν ἀναθεῖσα, ἦν παιδευομένη καὶ νουθετημένη παρὰ τῆς μητρὸς αὐτῆς. Ἐκμαθοῦσα δὲ καὶ τὰ ἱερὰ γράμματα, ἀνεγίνωσκε διηνεκῶς τὰς θείας Γραφάς, καὶ οὐ διέλειπε σχολάζουσα ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ καὶ τῇ προσευχῇ.

Τελευτησάντων δὲ αὐτῆς τῶν γονέων, πάντα τὰ ὑπάρχοντα αὐτῆς διανείμασα τοῖς πτωχοῖς, αὐτὴ δὲ ἀποκαρεῖσα, καὶ τὸ μοναχικὸν σχῆμα περιβαλομένη, ἐξῆλθε κηρύττουσα τὸ ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ πολλοὺς τῶν Ἑλλήνων εἵλκυσε πρὸς θεογνωσίαν· διὸ τινὲς τῶν Ἑβραίων διέβαλον αὐτὴν εἰς τὸν Αὐτοκράτορα Ἀντωνῖνον, λέγοντες ὅτι γυνή τις ὀνόματι Παρασκευὴ κηρύσσει Ἰησοῦν τὸν Υἱὸν τῆς Μαρίας, ὃν οἱ πατέρες ἡμῶν ἐσταύρωσαν.

Ἀκούσας δὲ ταῦτα ὁ βασιλεύς, ἐκέλευσεν ἀχθῆναι αὐτὴν ἔμπροσθεν αὐτοῦ καὶ ἰδὼν αὐτήν, ἔκθαμβος ἐγένετο ἐπὶ τῇ συνέσει καὶ τῇ ὡραιότητι αὐτῆς. Λέγει οὖν αὐτῇ· ἐὰν πεισθῇς μοι, καὶ θύσῃ τοῖς θεοῖς, πολλῶν δωρεῶν ἔσῃ κληρονόμος· εἰ δὲ μή, εἰς πολλὰς βασάνους σὲ παραδώσω. Ἡ δὲ Ἁγία στερροτάτῳ λογισμῷ πρὸς αὐτὸν ἀπεκρίνατο· Μή μοι γένοιτο ἀρνήσασθαι τὸ ὄνομα τοῦ Χριστοῦ καὶ Θεοῦ μου· θεοὶ γὰρ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν μὴ ποιήσαντες ἀπολέσθωσαν. Ὁ δὲ βασιλεὺς τῷ θυμῷ ὑπερζέσας, κελεύει κασίδαν (περικεφαλαίαν) σιδηρᾶν ἐπυρακτωμένην ἐπιτεθῆναι τῇ κεφαλῇ τῆς Μάρτυρος· οὗ γενομένου, θείᾳ δρόσῳ ἀβλαβὴς διεφυλάχθη. Ἐπὶ δὲ τῷ τοιούτῳ θαύματι, αὐτῇ τῇ ὥρᾳ, πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

Εἶτα κελεύει λέβητα χαλκοῦν, ἐλαίου μεστὸν καὶ πίσσης, ἐκκαυθῆναι σφοδρῶς, καὶ ἐν τούτῳ βληθῆναι αὐτήν· οὗ γενομένου, ἡ Ἁγία ἑστῶσα ἐν μέσῳ ὡρᾶτο τοῦ λέβητος δροσιζομένη. Ἰδὼν δὲ αὐτὴν ὁ βασιλεύς, ἔφη· Ράντισόν με ἀπὸ τοῦ λέβητος, ὦ Παρασκευή, ὅπως γνῶ, εἰ ἄρα ἡ πίσσα καὶ τὸ ἔλαιον ὑποκαῖόν ἐστιν. Ἡ δὲ Ἁγία πλήσασα τὰς χεῖρας αὐτῆς ἐκ τοῦ λέβητος, κατὰ τῆς ὄψεως τοῦ βασιλέως ἔρριψε. Καὶ ἀμέσως ἐπληρώθησαν αἱ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ ἐβόησε φωνῇ μεγάλῃ, λέγων· Ἐλέησόν με δούλη τοῦ ἀληθινοῦ Θεοῦ, καὶ δός μοι τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ πιστεύσω εἰς τὸν Θεόν, ὃν σὺ κηρύττεις. Καὶ ἀναβλέψας εὐθύς, ἐπίστευσεν ὅ τε βασιλεὺς Ἀντωνῖνος, καὶ πάντες οἱ ὑπ' αὐτόν· καὶ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τῆς Ἁγίας Τριάδος.

Ἡ Ἁγία ἐκεῖθεν ἐξελθοῦσα, ἀπῆλθεν εἰς ἑτέρας πόλεις,

www.tezaurliturgic.ro

καὶ κώμας, κηρύττουσα τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Εἰσελθοῦσα δὲ εἴς τινα κώμην ἐν ᾗ ἐβασίλευεν Ἀσκληπιός τις προσήχθη ἡ Ἁγία ἐνώπιον αὐτοῦ· καὶ τὸ ὄνομα τοῦ Σωτῆρος Χριστοῦ ἐπικαλεσαμένη, Χριστιανὴν ὡμολόγησεν εἶναι καὶ τὸν Χριστόν, Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἀνεκήρυξεν. Ἐπὶ τούτῳ ὁ Βασιλεὺς ταραχθείς, ἔπεμψεν αὐτὴν πρὸς τὸν ἔξω τῆς πόλεως ἐμφωλεύοντα φοβερώτατον δράκοντα, ᾧ ἐκ συνηθείας τοὺς καταδίκους θανάτῳ κατάβρωμα παρεῖχον. Ἐπεὶ δὲ ἡ Ἁγία παρέστη τῷ χώρῳ, ἐν ᾧ ὁ δράκων κατῴκει, ἰδὼν αὐτὴν ὁ δράκων, μέγα ἐβρύχησε· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, καπνὸν ἐξήνεγκε πολύν. Ὡς οὖν ἡ Ἁγία παρέστη πλησίον τοῦ θηρός, εἶπε· Θηρίον ἔφθασεν ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ σὲ καὶ ὁ ὄλεθρος. Ἐμφυσήσασα δὲ εἰς αὐτὸν τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ ἐποιήσατο κατ' αὐτοῦ. Ὁ δὲ μέγα συρίξας, διερράγη εἰς δύο, καὶ ἄφαντος ἐγένετο. Ἰδὼν δὲ ὁ Βασιλεὺς καὶ οἱ σὺν αὐτῷ πάντες, ἐπίστευσαν.

Ἡ δὲ Ἁγία, ἀπελθοῦσα εἰς ἑτέραν πόλιν, ἐν ᾗ ἐβασίλευεν ἕτερος, ὀνόματι Ταράσιος, ἐκήρυττε τὸ ὄνομα τοῦ Χριστοῦ· καὶ μαθὼν περὶ αὐτῆς ὁ βασιλεὺς, παρέστησεν αὐτὴν τῷ βήματι αὐτοῦ. Ἐρωτηθεῖσα οὖν παρ' αὐτοῦ Χριστιανὴν ἑαυτὴν ὡμολόγησε, καὶ Θεὸν ἀληθινὸν τὸν Χριστὸν ἐκήρυξεν. Καὶ ἐπὶ τούτῳ λέβητος χαλκοῦ, ἐλαίου καὶ πίσσης καὶ μολύβδου γέμοντος, προτεθέντος, καὶ ὑποκάτω πυρὸς ἀναφθέντος, εἰσῆλθεν ἐν αὐτῷ· θείου δὲ Ἀγγέλου ἐπιστασίᾳ, τοῦ λέβητος ψυχρανθέντος, ἀβλαβὴς ἡ Ἁγία διέμεινε. Πολλὰς δὲ καὶ ἑτέρας βασάνους αὐτῇ προσαγαγών, τὸ στερρὸν αὐτῆς οὐκ ἐσάλευσε. Τελευταῖον δὲ ξίφει τὴν κεφαλὴν αὐτῆς ἀπέτεμεν. Οὗ γενομένου, τὸ πνεῦμα αὐτῆς εἰς τὰς αἰωνίους ἀπέπτη μονάς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἱερομαρτύρων Ἑρμολάου, Ἑρμίππου καὶ Ἑρμοκράτους.

Στίχοι.

Ἕρμιππος, Ἑρμόλαος ἠδ' Ἑρμοκράτης,
Ἑρμῆν σέβοντας ᾔσχυναν παρρησίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Ὡραιοζήλης.

Στίχοι.

Εἰς πῦρ βληθεῖσα Ὡραιοζήλη, Λόγε,
Ἅπασι βρύει τοὺς κρουνοὺς τῶν θαυμάτων.

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Ἰγνατίου τοῦ Σειρωνίτου· καὶ τῶν ἐγκαινίων τοῦ ναοῦ τοῦ Ἀρχαγγέλου Γαβριήλ, πέραν ἐν Χάλδαις· καὶ τῶν Ἁγίων Μαρτύρων Ἀππίωνος καὶ Ἱερουσαλήμ.

Στίχοι.

Πρὶν γῆς ἀρετῶν καρποὺς φύσας,
Τὸ στεῖρον ἐκπέφευγεν ὁ Σειρωνίτης.
Τὸν σὸν ξίφει τράχηλον ἀτρέπτως κλίνας,
Τὸ τῆς τελευτῆς, Ἀππίων, πίνεις πόμα.
Τομὴν κεφαλῆς Ἱερουσαλὴμ φέρει,
Καὶ τὴν ἄνω νῦν Ἱερουσαλὴμ βλέπει.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ὑπὸ Κυρίου, σὺ φρουρουμένη πρὸ βήματος ἀσεβῶν, Μάρτυς τὰς μασχάλας ἔστεγες καρτερῶς, φλεγομένη καὶ ὑπέψαλλες· Εὐλογητὸς εἶ, ὁ Θεός μου βοῶσα καὶ Κύριος.

Φλέξαν μηδόλως, τοὺς παρανόμους καίει μᾶλλον τὸ πῦρ, Κόρη ὁ Χριστὸς δὲ φυλάττει σε ἀβλαβῆ, καθὼς πάλαι διεσώσατο, πυρὸς τοῦ βρέμοντος, ἀδεεῖς Νεανίας χειρὶ κραταιᾷ.

Ἤπειρον πᾶσαν, σαφῶς καὶ πόλον μὴ τεκτηνάμενοι, ὄντως τὰ δαιμόνια ξόανα καὶ θεοί, ἀπολέσθωσαν ἐκραύγαζες· Χριστὸς δὲ Κύριος, πλαστουργός ἐστι πάντων ἐκήρυττες.

Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις Πανάμωμε.

Καταβασία.

»Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαν»τα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες »ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλο»γητὸς εἶ.

www.tezaurliturgic.ro

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Οὐκ ὄντας θεοὺς ἀλλὰ ψευδῆ, δαιμόνων φάσματα, Μάρτυς ἀπέδειξας, καὶ κατηδάφισας τέλεον, καὶ εἰς τέλος κατελέπτυνας, ἐν εὐφροσύνῃ τῷ Χριστῷ, ἀπαύστως μέλπουσα· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ναοῦ δονηθέντος ἐπὶ γῆς, ἐπιφοιτήσει σου, Ἀπόλλων πέπτωκε, καὶ κατηκόντισται ξόανα, ἐνεργείᾳ τοῦ ἀχράντου Σταυροῦ, δι' οὗ φραχθεῖσα μυστικῶς, ἐν παρρησίᾳ πολλῇ, ἀνεβόας· Πάντα τὰ ἔργα εὐλογεῖτε τὸν Κύριον.

Κάλλους καὶ τοῦ πόθου σου Χριστέ, Παρασκευὴ ἡ ἁγνή, τρωθεῖσα ἔφερε, πυρὸς τὴν ἔκκαυσιν κράζουσα· Εἰς ὀσμὴν τοῦ θείου μύρου σου, νῦν ἐναθλοῦσα καρτερῶς, δραμοῦμαι ἄληκτα, σοῦ ὀπίσω, ἐπευλογοῦσα τὸ θεῖόν σου ὄνομα.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογιθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία θεόνυμφε.

Καταβασία.

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος νῦν δὲ ἐνεργούμενος, τὴν Οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους.

Ρευστῆς βιοτῆς καὶ προσκαίρου, Μάρτυς, τὴν μέλλουσαν ἠλλάξω, κάλλος τὸ ἀμήχανον ὁρᾶν, τοῦ σοῦ νυμφίου ἐπειγομένη τρανῶς· ὅθεν στεφάνων ἔτυχες, τῶν ἀκηράτων καλλιπάρθενε.

» Ἤκουσας φωνῆς βεβαιούσης, Παρασκευὴ σοῦ τὰς αἰτήσεις, » θείας οὐρανόθεν καὶ τὸν δρόμον, προθύμως Μάρτυς σεμνὴ » διήνυσας, καὶ πρὸς αὐτὸν ἀνέδραμες, κάραν τμηθεῖσα τὴν ἐρί- » τιμον.

www.tezaurliturgic.ro

Νίκην κατ' ἐχθρῶν δωρηθῆναι, Παρασκευὴ Χριστὸν ἐξαίτει, πᾶσι τοῖς τῷ θείῳ ναῷ σου, προσερχομένοις ἐν θερμοτάτῃ πίστει, καὶ τῶν πταισμάτων ἄφεσιν, καὶ τῶν δεινῶν τὴν ἀπολύτρωσιν.

Θεοτοκίον.

Ὤφθης Χερουβὶμ ἀνωτέρα, καὶ οὐρανῶν ὑψηλοτέρα, ἄχραντε Παρθένε Μαρία, βουλῆς μεγάλης τεκοῦσα Ἄγγελον, τὸν τῷ Πατρὶ συνάναρχον Κριτὴν ἁπάντων ἐλευσόμενον.

Καταβασία.

»Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· »πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱε»ρὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις Παμμακά»ριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

Ἐξαποστειλάριον. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Ῥωσθεῖσα καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος, ἀθλοῦσα Μάρτυς, γενναίως· καὶ πρὸς Χριστοῦ ἀπείληφας, βραβεῖα νίκης πάνσοφε, Παρασκευὴ πανθαύμαστε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου.

Ἕτερον. Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Παρθενομάρτυς Κυρίου, καὶ καλλιπάρθενε νύμφη, Παρασκευὴ ἀοίδιμε, ἐκδυσωποῦσα τὸν Θεόν, ῥῦσαι λαόν σου καὶ πόλιν, φθορᾶς ὀργῆς καὶ κινδύνων.

Θεοτοκίον.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

www.tezaurliturgic.ro

Ἦχος α'. Τῶν Οὐρανίων ταγμάτων.

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου χοροβατοῦσα σεμνή, ἅμα Παρθένοις Μάρτυς, ταῖς φρονίμαις ἐκείναις, ἐκεῖθεν ἐκομίσω χάριν σοφή, τοῦ ἰᾶσθαι νοσήματα, καὶ ἐκδιώκειν τὰ πνεύματα μυσαρά, ἐκ τῶν πίστει προσιόντων σοι.

Τὴν ἱερὰν καὶ σεπτήν σου, μνήμην γεραίροντες, Παρασκευὴ Ὁσία, καὶ πιστῶς ἐκτελοῦντες, βοῶμέν σοι σὺν πόθῳ ῥῦσαι ἡμᾶς, τῆς φλογὸς τῆς κολάσεως, καὶ τῶν βελῶν τοῦ βελίαρ, ταῖς πρὸς Χριστόν, ἱκεσίαις σου πανεύφημε.

Ῥήξασα κράτος τυράννων ἀθεωτάτων σεμνή, καὶ πρὸς Θεὸν τὰς βάσεις, ἀναθεῖσα παρθένε, οὐδόλως ἐπτοήθης οὔτε κρουσμόν, μολυβδίνων σφυρῶν οὔτε πῦρ, οὔτε ξεσμοὺς τῶν σαρκῶν σου οὔτε βρασμόν, τῶν λεβήτων, οὔτε ξίφους σφαγήν.

Ἀσκήσει πρῴην τὸ σῶμα τήξασα ἔνδοξε, τὸ δεύτερον ἀθλήσει, στομωθεῖσα τὴν φρένα, τοῖς πᾶσιν ἀνεδείχθης Μάρτυς Χριστοῦ, οὐρανοχάλκευτον φάσγανον, ὥσπερ χρυσὸς ἐν χωνείᾳ δοκιμασθέν, ταῖς αἰκίαις καλλιπάρθενε.

Δόξα. Ἦχος πλ. α'.

Σήμερον τοῦ ἐπουρανίου Βασιλέως, ἡ ἀμίαντος νύμφη, συγκαλεῖται ἡμᾶς, πρὸς ἑστίασιν πνευματικήν, Παρασκευὴ ἡ πάνσεπτος. Δεῦτε οὖν φιλέορτοι πάντες, μυστικῶς εὐφρανθῶμεν, ἐν τῇ πανσέπτῳ αὐτῆς, καὶ λαμπρᾷ πανδαισίᾳ, καθαρθέντες τῷ νοΐ, ἐν φαιδραῖς ταῖς στολαῖς κατηγλαϊσμένοι, τοῦ θείου Πνεύματος. Αὕτη γὰρ ὡς ἁγνὴ περιστερά, τῷ τῆς παρθενίας κάλλει, τῷ Υἱῷ νυμφευθεῖσα, ὁλικῶς τὴν ἁγίαν Τριάδα, ἐν ἑαυτῇ εἰσωκήσατο, Πατέρα, καὶ Υἱόν, καὶ Πνεῦμα Ἅγιον, τὸν ἕνα Θεὸν ὃν καὶ ποθοῦσα καὶ ζητοῦσα ἐνήθλησε· διὸ καὶ συμβασιλεύει αὐτῷ εἰς αἰῶνας, ἐν τοῖς ἐπουρανίοις σκηνώμασιν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

Εἰς τὴν Λειτουργίαν.

Τὰ Ἀντίφωνα. Κοντάκιον Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε. Ἀπόστολος, (Ζήτει τῷ Σαββάτῳ πρὸ τῶν Φώτων). Εὐαγγέλιον. Ζήτει τῇ Δευτέρᾳ τῆς ΙΕ'. Ἑβδομάδος Ματθαίου (Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς...). Ἄξιόν ἐστιν. Εσλης 67

Κοινωνικόν. «Εἰς μνημόσυνον αἰώνιον.....».

Μεγαλυνάριον τῆς Ἁγίας.

Χαίροις Ἐκκλησίας ἡ λαμπηδών, καὶ τῶν ἰαμάτων, πολυχεύμων ὄντως κρουνός. Χαίροις προστασία, καὶ σκέπη οὐρανία, Παρασκευὴ θεόφρον τῶν εὐφημούντων σε.



www.tezaurliturgic.ro

ΒΙΟΣ
ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ
ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ
ΠΑΡΑΣΚΕΥΗΣ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΒΙΟΣ
ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ
ΠΑΡΑΣΚΕΥΗΣ

Ἡ Ὁσιομάρτυς Παρασκευή, ἡ δημοφιλεστάτη αὕτη Ἁγία τῆς Ἐκκλησίας μας, ἔζησε κατὰ τὸ πρῶτον ἥμισυ τοῦ β΄ μ.Χ. αἰῶνος. Ἐγεννήθη εἰς ἕνα χωρίον πλησίον τῆς Ρώμης ἀπὸ γονεῖς χριστιανοὺς καὶ πολὺ εὐσεβεῖς, τὸν Ἀγάθωνα καὶ τὴν Πολιτείαν, οἵτινες ἐπιμελῶς ἐτήρουν τὰ καθήκοντα τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπης, καὶ ἔζων χριστιανικῶς.

Ἡ ἁρμονικὴ καὶ εὐσεβὴς συζυγία τούτων ἔκαμεν, ὥστε ἡ εὐλογία τοῦ Θεοῦ πλουσιοπαρόχως νὰ ἀμείψῃ τούτους, καὶ νὰ ἔλθῃ ὡς καρπὸς καὶ ἀποτέλεσμα τῶν ἀδιαλείπτων καὶ θερμῶν πρὸς τὸν Θεὸν προσευχῶν αὐτῶν, καθ' ὅσον ἐπὶ ἀρκετὰ χρόνια εἶχον μείνει ἄτεκνοι, ἡ Παρασκευή, λαβοῦσα τὸ ὄνομά της ἀπὸ τὴν ἡμέραν τῆς ἑβδομάδος, καθ' ἣν ἐγεννήθη αὕτη.

Οὕτω ἐκπληρωθείσης τῆς ἐπιθυμίας των ταύτης ἵνα ἀποκτήσωσι τέκνον ἐξεπληρώθη καὶ ἡ τούτων πρὸς τὸν Θεὸν ὑπόσχεσις, ἵνα καταβάλουν πᾶσαν προσπάθειαν διὰ τὴν εὐσεβῆ καὶ χριστιανοπρεπῆ διάπλασιν τῆς ψυχῆς αὐτῆς, καὶ ἀφιερώσωσιν ἐξ ὁλοκλήρου αὐτὴν εἰς τὸν Θεόν.

Καὶ πράγματι. Ἡ Παρασκευὴ περίλαμπρος εἰς τὴν ὡραιότητα καὶ πεπροικισμένη μὲ ἰδιάζουσαν εὐφυΐαν ἀνετράφη εἰς τὰ διδάγματα τῆς εὐσεβείας καὶ τὴν μελέτην τῆς Ἁγίας Γραφῆς. Ἦτο τόσος ὁ ζῆλός της, ὥστε ὄχι μόνον ἠγρύπνει διὰ νὰ μελετᾷ τὰ θεῖα, ἀλλὰ καὶ ἐπωφελεῖτο πάσης καλῆς συναναστροφῆς, διὰ νὰ συζητῇ διάφορα περὶ θρησκείας ζητήματα, καὶ νὰ στηρίζῃ εἰς τὴν πίστιν τοῦ Χριστοῦ, τὰς ἀσθενεστέρας εἰς αὐτὴν γυναῖκας καὶ παρθένους [1].

---

1. Περὶ τῆς Ἁγ. Παρασκευῆς ὁ ἅγιος Κοσμᾶς ὁ Αἰτωλὸς λέγει τὰ ἑξῆς: «...Ἡ Ἁγία Παρασκευὴ μείνασα ὀρφανὴ ἐμοίρασεν ὅλην της τὴν περιουσίαν εἰς πτωχοὺς καὶ μὲ αὐτὰ ἠγόρασε τὸν Παράδεισον, καὶ μετεχειρίζετο ὡς φτιασίδια τὰ δάκρυα, ὡς σκουλαρίκια εἶχε τὰ ὦτά της ἀνοικτά, διὰ ν' ἀκούῃ τὰς Ἁγίας Γραφάς. Ὡς κορδόνι εἶχε τὰς πολλὰς νηστείας, ὅπου ἔκαμνον τὸν λαιμόν της καὶ ἔλαμπεν ὡς ὁ ἥλιος. Ὡς δακτυλίδια, τοὺς κόμβους τῶν δακτύλων της ἀπὸ τὰς πολλὰς μετανοίας ὅπου ἔκαμνεν. Ὡς χρυσοῦν ζωνάριον τὴν παρθενίαν ὅπου ἐφύλαξεν εἰς ὅλην της τὴν ζωήν. Ὡς φόρεμα τὴν ἐντροπὴν ὅπου εἶχεν εἰς τὸν ἑαυτόν της καὶ τὸν φόβον τοῦ Θεοῦ ὅπου τὴν ἐσκέπαζεν. Ἔτσι ἐστολίζετο ἡ Ἁγία... Ἔτσι ἀδελφοί μου ἡ Ἁγία Παρασκευὴ ἔμαθε γράμματα καὶ ἔγινε σοφωτάτη. Καὶ διὰ τὴν καθαρότητά της τὴν ἠξίωσεν ὁ Θεὸς καὶ ἔκαμνε καὶ θαύματα. Ἰάτρευε τυφλούς, κωφοὺς καὶ ἀνέστησε νεκρούς... Αὐτὴ ἡ Ἁγία ἔκαμε τὰ ἑκατὸν κατὰ τὸν λόγον τοῦ Κυρίου» (βλ. Θρησ. καὶ Ἠθικ. Ἐγκυκλ. Τόμ. 10ον σελ. 47).

www.tezaurliturgic.ro

Μετὰ τὸν θάνατον τῶν γονέων αὐτῆς, ἡ Παρασκευή, ἄγουσα τότε τὸ 20ὸν ἔτος τῆς ἡλικίας της, ἀφοῦ διεμοίρασεν ὅλην αὐτῆς τὴν περιουσίαν εἰς τοὺς πτωχοὺς ἐγένετο μοναχή. Ἡ Παρασκευὴ ὡπλισμένη μὲ ζῆλον Χριστοῦ, καὶ ὑπὸ τῆς πρὸς Αὐτὸν ἀγάπης φλεγομένη ἀπεφάσισε νὰ κηρύξῃ τὸ Εὐαγγέλιον δημοσίᾳ, χωρὶς οὐδεμίαν προφύλαξιν ἀπὸ τὴν ὀργὴν καὶ τὴν ἐκδίκησιν τῶν εἰδωλολατρῶν. Πρὸς τοῦτο ἀναχωρήσασα ἡ Ἁγία Παρασκευὴ ἀπὸ τὴν Ρώμην, περιήρχετο διαφόρους πόλεις καὶ χωρία κηρύττουσα τὸν Χριστὸν Θεὸν ἀληθινόν, εἰς καιροὺς κατὰ τοὺς ὁποίους ἡ ἁγία ἡμῶν Ἐκκλησία ὑφίστατο τὸν ἐπὶ τοῦ αὐτοκράτορος Ἀντωνίνου, τοῦ γνωστοῦ ὑπὸ τὸ ὄνομα Τίτου Αὐρηλίου, φοβερὸν διωγμόν. Τοιουτοτρόπως κατώρθωσεν ἡ Ἁγία νὰ φωτίσῃ καὶ προσελκύσῃ πολλοὺς εἰδωλολάτρας εἰς τὸ Εὐαγγέλιον καὶ τὴν χριστιανικὴν πίστιν, πολλοὺς δὲ σοφοὺς τούτων διὰ τῆς εὐφυΐας καὶ τῆς διαλεκτικῆς αὐτῆς δεινότητος εἰς τὰ θρησκευτικὰ ζητήματα ἀπεστόμωσεν.

Τὴν δρᾶσιν ταύτην τῆς εὐαγγελιστρίας, ἐπανελθούσης εἰς τὴν Ρώμην μαθὼν ὁ αὐτοκράτωρ, διέταξε νὰ συλλάβωσι ταύτην καὶ νὰ φέρωσι πρὸς αὐτόν. Ὅτε δὲ ἡ χριστιανὴ παρθένος ἤχθη, ὁ αὐτοκράτωρ θαυμάσας τὸ κάλλος αὐτῆς, προσεπάθησε ποικιλοτρόπως νὰ μεταβάλῃ τὴν γνώμην αὐτῆς καὶ δι' ὑποσχέσεων καὶ δώρων, ἀλλὰ καὶ ἀπειλῶν, νὰ πείσῃ ταύτην ἵνα ἀρνηθῇ τὴν πίστιν αὐτῆς καὶ νὰ θυσιάσῃ εἰς τὰ εἴδωλα. Ἀλλ' ἐκείνη χωρὶς καθόλου νὰ κλονισθῇ τὴν πλάνην τῶν εἰδώλων ἤλεγξε καὶ τὸν Χριστὸν Θεὸν ἀληθινὸν ὡμολόγησεν. Τότε ὁ αὐτοκράτωρ ἰδὼν ὅτι ἀπέτυχεν, ἐθυμώθη καὶ μὲ ὀργὴν διέταξεν ἵνα ἐνώπιον τῆς ἁγίας τοποθετηθῇ σιδηρᾶ περικεφαλαία ἐπὶ τοῦ πυρὸς μέχρις ὅτου τελείως πυρακτωθῇ, καὶ οὕτως ἐπὶ τῆς κεφαλῆς αὐτῆς ἐπιτεθῇ, θέλων μὲ τὸν τρόπον αὐτὸν νὰ κάμψῃ τὸ φρόνημα τῆς Μάρτυρος καὶ νὰ ὑποτάξῃ τὸ ἀδούλωτον τῆς ψυχῆς αὐτῆς. Ἀλλ' ἐπλανᾶτο ὁ δυστυχής, καθ' ὅσον ἡ Ἁγία ἔβλεπε μὲ χαρὰν τὸ μαρτύριόν της αὐτὸ ἑτοιμαζόμενον. Καὶ ὅτε ἡ περικεφαλαία σπινθηρίζουσα πῦρ ἐτέθη ἐπὶ τῆς τιμίας αὐτῆς κεφαλῆς, ἡ Μάρτυς ἔμεινεν ἀβλαβὴς καὶ ἐδόξαζε τὸν Θεόν.

Τὸ θαῦμα τοῦτο συνετέλεσεν εἰς τὸ νὰ πιστεύσωσι πολλοὶ ἐκ τῶν εἰδωλολατρῶν, οἵτινες παρίσταντο ἐκεῖ τὴν στιγμὴν ἐκείνην. Καὶ τούτους ὁ τύραννος ἐτιμώρησεν ἄλλους μὲν ρίψας εἰς τὸν Τίβεριν ποταμὸν ἔπνιξεν, ἄλλους δὲ μὲ ἄλλον τρόπον ἐθανάτωσεν, τὴν δὲ Παρασκευὴν διέταξεν εἰς σκοτεινὴν φυλακὴν δεδεμένην νὰ ρίψωσι μὲ τὴν ἐλπίδα ὅτι νεώτεραι σκέψεις καὶ νέαι πρὸς αὐτὴν προτροπαὶ θὰ ἔκαμνον αὐτὴν νὰ ἀποσκιρτήσῃ ἀπὸ τὴν χριστιανικὴν πίστιν. Ἀλλὰ τὴν νύκτα ἐκείνην ἐνῷ ἡ Ἁγία προσηύχετο Ἄγγελος Κυρίου παρουσιασθεὶς ἐν τῇ φυλακῇ τῆς ἔλυσε τὰ δεσμὰ καὶ τὴν ἐνεθάρρυνε, τὴν δὲ πρωΐαν εἰσελθόντες οἱ στρατιῶται εἰς τὴν φυλακὴν διὰ νὰ ὁδηγήσουν τὴν Μάρτυρα καὶ πάλιν ἐνώπιον τοῦ αὐτοκράτορος, μὲ ἔκπληξιν εἶδον ὅτι αἱ ἁλύσεις αὐτῆς ἔκειντο παρὰ τοὺς πόδας της καὶ ἡ Παρασκευὴ ἵστατο ἐλευθέρα.

Ὁ Βασιλεὺς ἰδὼν τὴν Παρασκευὴν προσεπάθησε καὶ πάλιν νὰ ἀποσπάσῃ

www.tezaurliturgic.ro

ταύτην ἀπὸ τὸν Χριστόν, καὶ βλέπων ὅτι τίποτε δὲν ἐπιτυγχάνει προστάσσει τοὺς στρατιώτας νὰ κατακαύσωσι τοὺς βραχίονας αὐτῆς μὲ ἀνημμένας λαμπάδας. Ἐπειδὴ δὲ ἡ Ἁγία ὑπέμεινε μὲ χαρὰν τὴν βάσανον ἐκείνην τὴν ἀφόρητον, ὁ βασιλεὺς σκοτισθεὶς διατάσσει ἵνα πυρὰ ἀναφθῇ, καὶ ἐντὸς μεγάλου λέβητος ἔλαιον καὶ πίσσα νὰ βράσῃ καὶ ἐντὸς αὐτοῦ ἡ Ἁγία νὰ ριφθῇ ὅπως τελείως κατακαῇ. Ἡ διαταγὴ τούτου ἐξετελέσθη ἀμέσως, καὶ ἐντὸς τοῦ κοχλάζοντος ἐλαίου καὶ τῆς πίσσης ριφθεῖσα ἡ Μάρτυς οὐδόλως ἐκαίετο, ἀλλὰ χαίρουσα ἵστατο ἐν μέσῳ τοῦ λέβητος δοξολογοῦσα τὸν Θεὸν καὶ ἀπὸ καρδίας αὐτὸν εὐχαριστοῦσα.

Τοῦτο ἰδὼν ὁ βασιλεὺς ἐξεμάνη καὶ νομίσας ὅτι ἡ ὕλη ποὺ ἦτο ἐντὸς τοῦ λέβητος δὲν εἶχε καυστικὴν δύναμιν, προτείνει εἰς τὴν Ἁγίαν ἵνα ραντίσῃ αὐτὸν ἀπὸ τὸ βρασμένον ἐκεῖνο ἔλαιον καὶ πίσσαν. Τότε ἡ Ἁγία λαβοῦσα διὰ τῶν χειρῶν αὐτῆς ἐκ τῆς ὕλης ἐκείνης ἔρριψεν εἰς τὸ πρόσωπον τοῦ βασιλέως καὶ ἐτυφλώθη ὁ ταλαίπωρος. Ἐν ἀπελπισίᾳ δὲ διατελῶν, τὴν Ἁγίαν μεγάλῃ τῇ φωνῇ παρακαλεῖ, ἵνα ὑπὲρ τῆς θεραπείας αὐτοῦ πρὸς τὸν Θεὸν προσευχηθῇ. Τοῦτο ἡ Ἁγία ἀμέσως ἐκτελεῖ καὶ ὁ βασιλεὺς ἐθεραπεύθη καὶ ἀνέβλεψεν[2], ἀναν-ήψας δὲ ἐκ τοῦ θαύματος τούτου καὶ φωτισθεὶς τὸ πνεῦμά του ἀπήλλαξε τὴν Μάρτυρα πάσης ἄλλης βασάνου, καὶ τὸν κατὰ τῶν χριστιανῶν διωγμὸν κατέπαυσε γενόμενος χριστιανός.

Ἐπὶ τοῦ διαδόχου αὐτοῦ Μάρκου Αὐρηλίου (161-180), ὅστις ἐκήρυξε νέον διωγμὸν κατὰ τῶν χριστιανῶν, ἡ Ἁγία ἀφῆκε τὴν Ρώμην καὶ περιήρχετο πολλὰς χώρας καὶ πόλεις κηρύττουσα μὲ πολὺν ζῆλον καὶ θάρρος τὸν Χριστόν, καὶ διαθέτουσα ὅλας αὐτῆς τὰς δυνάμεις εἰς τὸν φωτισμὸν τῶν ψυχῶν. Φθάσασα δὲ εἰς πόλιν τινά, τῆς ὁποίας ἄρχων ἦτο διώκτης σκληρὸς τοῦ χριστιανισμοῦ, ὀνόματι Ἀσκληπιός, συνελήφθη, καὶ ὁμολογήσασα τὸν Χριστὸν κατεδικάσθη νὰ ριφθῇ εἰς τὸν ἐντὸς θηριοτροφείου εὑρισκόμενον δηλητηριασμένον ὄφιν. Ἀλλ' ἡ Ἁγία Παρασκευὴ μόλις τὴν ἐπλησίασεν ὁ ὄφις προσηυχήθη καὶ ἔκαμε τὸ σημεῖον τοῦ σταυροῦ, καί, ὢ τοῦ θαύματος!, ὁ ὄφις σὰν νὰ ἐπλήγη μὲ ξῖφος, ἐσύριξε μέγα σύριγμα καὶ ἐκόπη εἰς δύο. Τὸ θαῦμα τοῦτο ἰδόντες πολλοὶ ἐκ τῶν παρισταμένων ἀπίστων συνετέλεσεν εἰς τὸ νὰ προσελκυσθοῦν εἰς τὴν χριστιανικὴν πίστιν καὶ νὰ γίνουν χριστιανοί.

Μετὰ ταῦτα ἡ Ἁγία ἀνεχώρησεν ἐκεῖθεν καὶ μετέβη εἰς ἄλλας πόλεις κηρύττουσα τὸν Χριστόν. Τέλος ἔφθασεν εἰς μίαν πόλιν, τῆς ὁποίας ὁ ἄρχων, ὀνόματι Ταράσιος σκληρὸς καὶ ἀπάνθρωπος, συλλαβὼν τὴν Ἁγίαν ἠρώτα τί εἶναι. Ἐκείνη ἀπεκρίθη ὅτι εἶναι χριστιανή. Καὶ ὅταν ὁ ἄρχων ἠπείλησε ταύ-

---

2. Τὴν Ἁγ. Παρασκευὴν ἡ λαϊκὴ παράδοσις θεωρεῖ ὡς θεραπεύουσαν ὀφθαλμικὰς νόσους, διὸ καὶ οἱ πάσχοντες ἐπικαλοῦνται τὴν χάριν αὐτῆς ἀπὸ τὴν τέλεσιν ἴσως τοῦ θαύματος τούτου. Παλαιότερον πολλοὶ ἐπίστευον ὅτι καὶ τὴν πανώλην καὶ χολέραν ἀπέτρεπεν ἡ Ἁγία Παρασκευὴ (βλ. ἔνθ' ἀνωτ. σ. 46).

www.tezaurliturgic.ro

την ὅτι θὰ τὴν βασανίσῃ μὲ διάφορα βασανιστήρια καὶ θὰ τὴν θανατώσῃ, ἡ Μάρτυς ἀπήντησεν ὡς ἑξῆς: «Τὰς ὑπὲρ Χριστοῦ, ὦ ἡγεμών, βασάνους τιμήν μου θεωρῶ, καὶ ταύτας νὰ ὑποστῶ ἐπιποθῶ, μάθε δὲ ὁριστικῶς ὅτι οὔτε πῦρ, οὔτε σίδηρος, οὔτε μάστιγες, οὔτε θηρία οὔτε ἄλλο τι φοβερὸν δύναται νὰ μὲ χωρίσῃ ἀπὸ τὸν Χριστόν». Ταῦτα ἀκούσας ὁ ἡγεμὼν ὠργίσθη καὶ διατάσσει νὰ ὑποβάλωσι τὴν Ἁγίαν εἰς διάφορα βασανιστήρια, ἀλλὰ ἡ Ἁγία καὶ τὰ νέα αὐτὰ μαρτύριά της ὑπέμεινε μὲ μεγάλην ἀνδρείαν καὶ καρτερίαν. Ὅτε δὲ τὴν νύκτα ἐρρίφθη εἰς τὴν φυλακὴν καὶ μεγάλη πλὰξ ἐτέθη ἐπὶ τοῦ στήθους αὐτῆς, ἔμεινε καὶ πάλιν ἀβλαβής, διότι αὐτὸς ὁ Χριστὸς ἐφάνη ἐκεῖ καὶ ἐνίσχυσεν αὐτὴν καὶ κατέστησεν αὐτὴν ὑγιᾶ, εἰπὼν εἰς τὴν Μάρτυρα: «Χαίροις Παρασκευὴ καλλιπάρθενε, μὴ δειλιάσῃς τὰς βασάνους, ἡ γὰρ χάρις μου θέλει εἶσθαι μετὰ σοῦ νὰ σὲ λυτρώνῃ ἀπὸ πάντα πειρασμόν, ἀκόμη ὀλίγον ὑπόμεινον καὶ θέλεις ἔλθει νὰ συμβασιλεύσῃς μετ' ἐμοῦ αἰωνίως».

Τὴν πρωΐαν ἀποστείλας ὁ ἡγεμὼν στρατιώτας εἰς τὴν φυλακὴν διέταξε νὰ φέρωσι τὴν Ἁγίαν ἔμπροσθέν του καὶ ὅταν εἶδεν αὐτὴν ὑγιᾶ, μηδὲν σημεῖον ἔχουσαν ἐκ τῶν χθεσινῶν πληγῶν ἐθαύμασε, καὶ προτιθέμενος ὁ τύραννος αὐτὸς καὶ ἄλλας δριμυτάτας βασάνους νὰ ἐπιβάλῃ κατ' αὐτῆς, πλὴν βλέπων ὅτι καὶ τὰ εἴδωλα ἡ Μάρτυς κατέρριψε διὰ τοῦ λόγου αὐτῆς, καὶ ὅτι ἐξ ὅλων τῶν βασάνων ἐξήρχετο ἀβλαβής, πολὺ δὲ πλῆθος ἐξ αἰτίας τῆς Ἁγίας προσήρχετο εἰς τὸν Χριστόν, ἔδωκε διαταγὴν εἰς τοὺς στρατιώτας νὰ τὴν ἀποκεφαλίσουν.

Τότε οἱ στρατιῶται ὡδήγησαν τὴν Ἁγίαν ἔξω τῆς πόλεως καὶ ὅταν ἔφθασαν εἰς τὸν τόπον τῆς καταδίκης ἐζήτησεν ἡ Ἁγία νὰ τὴν ἀφήσουν ὀλίγην ὥραν νὰ προσευχηθῇ, καὶ τὴν ἄφησαν. Τότε κλίνασα αὕτη τὰ γόνατα καὶ ὑψώσασα τὰς χεῖρας αὐτῆς πρὸς τὸν οὐρανὸν προσευχομένη εἶπε μεταξὺ ἄλλων: «Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ καὶ Λόγε τοῦ Ἀθανάτου Πατρός, ὁ Ὁποῖος διὰ τὴν ἰδικήν μας σωτηρίαν κατέβης ἀπὸ τοὺς οὐρανοὺς καὶ ἦλθες ἐπὶ τὴν γῆν, εὐχαριστῶ Σοι ὅτι μὲ ἠξίωσας νὰ ὑπομείνω βάσανα καὶ τιμωρίας διὰ τὸ ὄνομά σου τὸ Ἅγιον. Σὲ δοξολογῶ ὅτι μὲ ἐνδυνάμωσες νὰ μαρτυρήσω διὰ τὴν ἀγάπην Σου, ἀξίωσόν με τῆς Βασιλείας σου, παράλαβε τὴν ταπεινήν μου ψυχὴν καὶ ἀνάπαυσον αὐτήν, κατάταξόν με ἐν τῷ χορῷ τῶν Ἁγίων σου Μαρτύρων, καὶ μνήσθητι, Φιλάνθρωπε Κύριε, τῶν ἐπικαλουμένων τὸ ὄνομά Σου τὸ Ἅγιον, δι' ἐμοῦ τῆς δούλης σου ἐν καιρῷ θλίψεως· μνήσθητι τῶν ἐπιτελούντων τὴν μνήμην τῆς ἐμῆς τελειώσεως καὶ ἐπάκουσον τῆς προσευχῆς αὐτῶν ἐν ἡμέρᾳ δεήσεως καὶ τελείωσον τὰ πρὸς σωτηρίαν αὐτῶν αἰτήματα, ἵνα ἐν τούτοις δοξασθῇ τὸ ὄνομά Σου τὸ Ἅγιον, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας».

Τότε ἡ Ἁγία κλίνασα τὸν αὐχένα ἀπετμήθη τὴν κεφαλὴν παρά τινος στρατιώτου κατὰ τὴν διαταγὴν τοῦ ἡγεμόνος. Οὕτω ἡ παρθένος περιεβλήθη τὸν ἀμαράντινον τοῦ μαρτυρίου στέφανον. Καὶ ἡ μὲν Ἁγία αὐτῆς ψυχὴ ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς συνευφραινομένη μετὰ τῶν Ἀποστόλων, ὡς ἰσαπόστολος,

www.tezaurliturgic.ro

μετὰ τῶν ὁσίων καὶ Μαρτύρων, ὡς Ὁσιομάρτυς, καὶ μετὰ τῶν παρθένων, ὡς Παρθενομάρτυς συναγαλλομένη.

Τὸ δὲ σεβάσμιον καὶ ἱερὸν αὐτῆς λείψανον λαβόντες τινὲς χριστιανοὶ ἐνεταφίασαν δοξάζοντες καὶ ὑμνοῦντες τὸν Θεόν.

Ἡ Ἁγία ἡμῶν Ἐκκλησία ἀποδιδοῦσα δικαιοσύνην μὲ τὸν τίτλον τῆς Ὁ σ ι ο π α ρ θ ε ν ο μ ά ρ τ υ ρ ο ς τὴν Ἁγίαν Παρασκευὴν ἐστεφάνωσε καὶ τὴν μνήμην αὐτῆς ἀθάνατον κατέστησε, καὶ μὲ ὕμνους καὶ ἐγκώμια αὐτὴν ἐδοξολόγησε καὶ φαιδρὰν ἑορτὴν συνέστησεν, πρὸς τιμὴν δὲ τῆς Ἁγίας οἱ χριστιανοὶ πολυπληθεῖς ναοὺς ἵδρυσαν.

Ὁ δὲ Θεὸς ἐθαυμάστωσε τὴν Ἁγίαν, καὶ μὲ τὴν δύναμίν Του ἡ Ἁγία Παρασκευὴ ἐπιτελεῖ καθημερινῶς ἄπειρα θαύματα εἰς τοὺς μὲ πίστιν καὶ εὐλάβειαν ἐπικαλουμένους τὴν θαυματουργικὴν χάριν τῆς μεγάλης καὶ Ἐνδόξου Ἁγίας Ὁσιαπαρθενομάρτυρος Παρασκευῆς, ἧς ταῖς πρεσβείαις Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀ μ ή ν.



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ
ΠΑΡΑΣΚΕΥΗΝ

Μετὰ τὸν Εὐλογητόν, Τὸ Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον.

Ἦχος δ'. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Εὐαρεστήσασα Θεῷ Ἀθληφόρε, καὶ πειρασθεῖσα ὡς χρυσὸς ἐν καμίνῳ, Παρασκευὴ πανένδοξε, βασάνων πειρασμοῖς. Θαύματα πηγάζεις νῦν, καὶ νοσήματα παύεις καὶ τὸν ὑπεράγαθον τοῦ Θεοῦ Θεὸν Λόγον, ὑπὲρ ἡμῶν ἀεὶ ἐκδυσωπεῖς, ὅπως τῶν δωρεῶν αὐτοῦ ἐπιτύχωμεν.

Δόξα καὶ νῦν. Θεοτοκίον. Οὐ σιωπήσωμεν . . .

Ὁ Ν', καὶ ὁ Κανών.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ὑμνῶν σου τὴν μνήμην παρακαλῶ, ἔνδοξε Παρθένε, τῶν πταισμάτων μου τὰς σειράς, διάρρηξον τάχος ταῖς πρὸς Κτίστην, τὸν Πανοικτίρμονα, πρεσβείαις σου.

Μεγίστη ἡ δύναμις, ἣν Σεμνή, ἔλαβες ἀξίως ἐκ Θεοῦ τοῦ θαυματουγεῖν· ταύτην οὖν χρωμένη ἤδη παῦσον, τὰ πολυχρόνια πάθη μου δέομαι.

Νομίμως ἀθλήσασα ἐπὶ γῆς, Παρασκευὴ Μάρτυς, καὶ τὸ στέφος ἐν Οὐρανῷ, σῆς ἀπολαβοῦσα καρτερίας, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα ἱκέτευε.

Θεοτοκίον.

Ὄμματι Πανάσπιλε ἐπ' ἐμοί, ἵλεῳ σου βλέψον, καὶ ἰάτρευσον τὰ δεινὰ τοῦ σώματος πάθη καὶ τὰς νόσους, ἀποσκοράκισον, θείαις πρεσβείαις σου.

www.tezaurliturgic.ro

Ὠδή γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἰσχύϊ τοῦ Πνεύματος, τοῦ Παναγίου ἡμᾶς ἐλέησον, Παρασκευή, καὶ νόσων παντοίων, σαῖς λιταῖς ἐλευθέρωσον.

Σῶσον ταῖς πρεσβείαις σου, Παρασκευὴ πανακήρατε, πάντας ἡμᾶς, τοὺς σὲ ἀνυμνοῦντας, καὶ εὐφήμως γεραίροντας.

Γενοῦ μοι, Πολύαθλε, τῷ τεθλιμμένῳ προστάτης σύντονος, καὶ ἐκ παθῶν καὶ κινδύνων ῥῦσαι, ταῖς εὐχαῖς σου καὶ θλίψεων.

Θεοτοκίον.

Ἐξελοῦ, Πανάχραντε, νόσων δεινῶν με καὶ θλίψεων, τῶν ἀφειδῶς καταπιεζόντων, τὸν σὸν δοῦλον ἑκάστοτε.

Εἶτα μνημονεύει ὁ ἱερεύς...

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ῥώμην δίδου μοι, Πάσνεμνε, κατά τε δαιμόνων καὶ ὀλεθρίων παθῶν καὶ τὸν σάλον τῶν πταισμάτων μου, ἱεραῖς λιταῖς σου καταπράϋνον.

Ἀγαπήσασα Κύριον, καὶ στεφάνων δόξης κομίσασα, ὑπὲρ πάντων καθικέτευε, τῶν πιστῶς τιμώντων σε, Πανεύφημε.

Ἱκεσίαις μου πρόσδεξαι, ὦ Παρασκευὴ Παρθένε πολύαθλε, καὶ παθῶν μου τὴν σκοτόμαιναν, σοῦ θερμαῖς πρεσβείαις ἀποδίωξον.

Θεοτοκίον.

Ῥῦσαι, Κόρη Πανάμωμε, ἡ Θεὸν ἀσπόρως κυήσασα, τὸν σὸν δοῦλον κινδυνεύοντα, καταποντισθῆναί με τοῖς πταίσμασιν.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ὥσπερ Σὺ Σεμνή, εἰς Νυμφῶνα τὸν οὐράνιον, αὐγάζῃ ταῖς ἐνθέοις μαρμαρυγαῖς, οὕτω σοὺς δούλους δόξης θείας καταξίωσον.

www.tezaurliturgic.ro

Σοῦ ἐν τῷ Ναῷ προσελθόντας τοὺς οἰκέτας σου, ὦ Παρασκευή, ἐλευθέρωσον, ἐκ νοσημάτων ταῖς εὐχαῖς σου καὶ κακώσεων.

Ἔρωτι Θεοῦ τὴν ψυχήν μου πλῆξον δέομαι, Παρασκευή, θείαις πρεσβείαις σου, καὶ τῶν παθῶν μου τὴν ἀχλὺν νῦν ἐξαφάνισον.

Θεοτοκίον.

Πάναγνε, ἡμεῖς κεκτημένοι σε βοήθειαν, σκέπην καὶ βεβαίαν ἀντίληψιν, παντὸς κινδύνου διὰ σοῦ ρυσθείημεν.

Ὠδὴ στ'. Ἱλάσθητί μοι.

Αἱμάτων σου τοῖς κρουνοῖς, Παρασκευή, ὡς κατέσβεσας τῆς ἀπιστίας τὸ πῦρ, οὕτω νῦν κατάσβεσον, τὴν φλόγα τῶν νόσων μου, ταῖς σαῖς ἱκεσίαις καὶ κινδύνων με ἐξάρπασον.

Ῥεόντων τὸ χαμερπές, Παρασκευὴ Πανακήρατε, τὸ ἄστατον καὶ φθαρτὸν περιδεῖν ἀξίωσον, σὸν δοῦλον πρεσβείαις σου, καὶ ἀξιωθῆναι θείας δόξης καὶ λαμπρότητος.

Ἁπάσας τὰς κεφαλάς, τῶν ἀνομούντων συντρίβεσθαι, ὑπὸ τοὺς πόδας ἡμῶν, Θεὸν καθικέτευε, Μάρτυς, τῶν τιμώντων σου, πόθῳ τὴν σὴν κάραν, ἣν ἀπέτεμεν ὁ ἄνομος.

Θεοτοκίον.

Σὺ οὖσα τὸ καθαρόν, καὶ ἁγιώτατον τέμενος, Μαρία τοῦ Παντουργοῦ, παράσχου μοι δάκρυα, ψυχὴν καθαρίζοντα, καὶ ἐπάκουσόν μου, τῆς δεήσεως σοῦ δέομαι.

Ἐπίβλεψον μετ' εὐμενείας, Παρασκευή, Ἀθληφόρε, ἐπὶ τὰ ἐμὰ πάθη τοῦ σώματος, καὶ ἴασιν δώρησαί μου εὐχαῖς σου.

Θεοτοκίον.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

www.tezaurliturgic.ro

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον.

Ἦχος β΄.

Προστάτρια Πιστῶν, Παρασκευὴ Ἀθληφόρε, πέλουσα τοῖς τῇ σεπτῇ Εἰκόνι σου θερμῶς προσπελάζουσιν, ἱκέτευε Χριστὸν τὸν Νυμφίον σου δωρηθῆναι λύσιν τῶν δεινῶν νόσων καὶ θλίψεων, καὶ ἁμαρτιῶν πασῶν τὴν συγχώρησιν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Ἦχος δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου...

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Μάρκον....

Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις, οὖσα ἐν ῥήσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γάρ· ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσωμαι. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ· ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων. Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγει· Τίς μοῦ ἥψατο· Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνή, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Δόξα.

Ταῖς τῆς Ἀθληφόρου....

Καὶ νῦν....

Ταῖς τῆς Θεοτόκου....

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός... Τὸ παρὸν Προσόμοιον.

www.tezaurliturgic.ro

Ἦχος πλ. β΄. Μεταβολὴ τῶν θλιβομένων.

Μεταβολὴ παντὸς κινδύνου, ἀπαλλαγὴ νόσου παντοίας ὑπάρχουσα Παρασκευὴ Παρθένε, ῥῦσαι πάντας τῶν δεινῶν, τῆς τῶν ἐναντίων κακουχίας, καὶ τῆς τῶν δαιμόνων ἐπηρείας, ταῖς θείαις σου πρὸς Θεὸν δεήσεσι.

Τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κάραν πάνσεπτον πάντες, τῆς Παρθενομάρτυρος δεῦτε Παρασκευῆς, Πιστοὶ ἐν ἐτησίοις, τιμήσωμεν τοῖς ὕμνοις, ὡς πηγὴν ἀνεξάντλητον, τῶν ἰαμάτων ἀεὶ καὶ θείων δωρημάτων.

Ἑορτὴν παναισίαν, οἱ Πιστοὶ ὀρθοδόξως ἐπιτελέσωμεν, φαιδρῶς, Παρασκευῆς νῦν, τὴν κάραν προσκυνοῦντες, καὶ βοῶντες ἐκ πίστεως· πρόφθασον ῥῦσαι ἡμᾶς, λιταῖς σου πάσης νόσου.

Ὑπὲρ πᾶσαν οὐσίαν, καὶ ὑπὲρ χρυσίον ἡ Κάρα σου διαλάμπουσα, παρέχει σωτηρίαν, τοῖς πίστει, Ἀθληφόρε, πρὸς αὐτὴν καταφεύγουσι, καὶ ἰατρεύει ψυχῶν θανατηφόρους νόσους.

Θεοτοκίον.

Ἡ Θεὸν σαρκοφόρον, Παναγία Παρθένε ἀποκυήσασα, ἐκ πάντων ἀδοκήτων κινδύνων τὸν λαόν σου, ἐκ νόσων περίσωζε, καὶ ἁμαρτίας δεσμὸν τάχει λιταῖς σου λύσον.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Στόματι πάντες καὶ καρδίᾳ ὑμνοῦμεν, τὴν πανένδοξον Μάρτυρα Κυρίου, ὅτι ἀρρωστίας ἐτύχομεν τὴν λύσιν.

Ἐν Οὐρανίοις, Παρασκευὴ Ἀθληφόρε, τοῖς σκηνώμασι χορεύουσα, τῶν πίστει, σὲ ὑμνολογούντων μνημόνευε Παμμάκαρ.

Ῥωσθεῖσα, Μάρτυς, τῇ ἰσχύϊ Κυρίου, τῶν Τυράννων κατήσχυνας τὰ θράση· θραῦσον καὶ νῦν πάντων δεσμοὺς τυραννουμένων.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἄχραντε μόνη εὐλογημένη Μαρία, τὰ δυσίατα ἰάτρευσον πάθη, τοῦ οἰκτροῦ σου δούλου, ἵνα σε μακαρίζω.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Φλέξον παρανόμων, Παρασκευὴ Μάρτυς, περὶ τῷ θείῳ τεχνάσματα ἄθεα· Πιστοὺς δὲ πάντας θείῳ αὐγάσματι λάμπρυνον.

Ἐμπλεως ἐνθέου, λάμψεως γενέσθαι, τὸν σὸν οἰκέτην νυνὶ καταξίωσον, ταῖς πρὸς τὸν ὅλων Δεσπότην λιταῖς σου, Πάνσεμνε.

Ἵνα σε δοξάζω, Παρασκευὴ πόθῳ, τὰς ἀνιάτους μου νόσους θεράπευσον, καὶ ταῖς εὐχαῖς σου τελείαν ρῶσιν παράσχου μοι.

Θεοτοκίον.

Μόνη Θεοτόκε, ὡς Ἁγνὴ καὶ Μήτηρ, τῆς ἀκαθάρτου ἰλύος με κάθαρον, τῶν ἀκαθάρτων μωλώπων, καὶ σῶσον, Δέσποινα.

Τὸ Ἄξιόν ἐστι, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Αἴτησαι εἰρήνην παρὰ Θεοῦ, ψυχῶν σωτηρίαν, καὶ κινδύνων ἀπαλλαγήν, θεία Ἀθληφόρε Παρασκευή, εὐχαῖς σου, τοῖς πίστει εὐφημοῦσί σε καὶ γεραίρουσι.

Πορφυρᾶν ἐξ αἵματος τὴν στολήν, σὺ περικειμένη, καὶ τὸ στέμμα ἐν κορυφῇ, ἔχουσα ὦ Μάρτυς, καὶ τὴν τῆς Παρθενίας, κατέχουσα λαμπάδα ἡμῶν μνημόνευε.

Τὴν Μεγαλομάρτυρα τοῦ Χριστοῦ, καὶ τὴν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθόν, τὴν Νύμφην Κυρίου καὶ ἄσπιλον Ἀμνάδα, Παρασκευὴν τὴν Θείαν, πάντες ὑμνήσωμεν.

Χαίροις Ἐκκλησίας ἡ λαμπηδών, καὶ τῶν ἰαμάτων, πολυχεύμων ὄντως κρουνός, Χαίροις προστασία, καὶ σκέπη Οὐρανία, Παρασκευή, θεόφρον τῶν εὐφημούντων σε.

www.tezaurliturgic.ro

Καὶ τὸ Θεοτοκίον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ Στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον. Καὶ τὸ Τροπάριον.

Ἦχος α΄.

Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου Πίστιν εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ Ἀθληφόρε· ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεύς, ὡς ἔθος μνημονεύει...

Μετὰ τὴν Ἀπόλυσιν, ψάλλομεν τὸ παρὸν Προσόμοιον.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν....

Θῦμα τῷ Δεσπότῃ καὶ Θεῷ, ἤχθης, Καλλιπάρθενε, θεῖον, καὶ παναμώμητον· πάσας ὅθεν ηὔφρανας τὰς Οὐρανίους Ἀρχάς, καὶ Μακάρων, Ἀοίδιμε, ψυχάς· διὸ πάντες, πίστει σου δεόμεθα καὶ πόθῳ ζέοντι, ῥῦσαι ταῖς λιταῖς σου ἐκ νόσων, καὶ παντοδαπῶν ἐναντίων, ἡμᾶς τοὺς τιμῶντάς σε, Πανεύφημε.



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΜΟΥΣΙΚΟΝ ΠΑΡΑΡΤΗΜΑ

Δοξαστικόν τῶν Ἑσπερίων. Ἦχος πλ. Β΄ Πᾶ



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

Δοξαστικόν τῶν Ἀποστίχων. Ἦχος Πλ. Β. Πα



Δ ευ τε πα α αντα της γη ης τα πε ρα ατα



πνευ μα τι κην χο ο ρει ει αν ε πι κρο τη η



η σω ω ω μεν και την χρι στου Παρθενο



μαρτυ υ ρα ευ φη μη η σω ω μεν λε ε ε



γο ο ο οντες χαι αι αι ροις Παρασκευ



η η ο σι ι ι α και θεο τι ι ι ι



ι ι μη η η η τε χαι αι αι αι



ροις η το μαρτυ υ ρι ον κα λω ω ω



ω ω ως υ υ πο δε ξα με ε ε ε ε ε

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

Δοξαστικόν τῶν Αἴνων. Ἦχος ⲛ̅ ϙ̈ Πα



Σημεερον τȣ επȣρανι ȣ Βασι ι λε ε



ε εως η α μι αν-το ος Νυ υμφη συγ



καλειται η μας προς εστι α σιν πνευματι-κην δ



Παρασκευη η η Πα αν σε ε ε μνος δευ



τε ȣν φι λε ε ορτι ι Πα α αντες μυστι



κως ευφρανθω ω μεν δ εν τη Πανσε επτωαυ



της δ και λαμπρα α Πανδαι σι ι ι ι α



καθαρθεντες τω νο ϊ εν φαιδραις ταις στολαις κα τη



γλα ϊ σμε ε ε ε νοι τȣ θει ει ου πνε ευ

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



Ἀπολυτίκιον. Ἦχος Α΄ πα χ



χεχατζ.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΠΕΡΙΕΧΟΜΕΝΑ

'Αντὶ Προλόγου ..... Σελ. 13

ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΓ. ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ

Α'. Εἰς τὸν 'Εσπερινὸν ..... Σελ. 15

Β'. Εἰς τὸν "Ορθρον ..... » 21

Γ'. Εἰς τὴν Λειτουργίαν ..... » 34

Βίος τῆς 'Αγίας ..... » 37

Παρακλητικὸς Κανὼν τῆς 'Αγίας ..... » 43

Μουσικὸν Παράρτημα ..... » 51

Μέχρι εδώ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

Τύποις : Τ Σ Ι Ρ Ω Ν Η. Μονοτυπικὰ Συγκροτήματα — Λένορμαν 185 — Τηλ. 530.318

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro